13. *ενκακειν* (ℵB[§] al *εγκ-*) cum ℵAB*et[3]D* 13. 17. 37. 39. 46** 47. (Euthal cod *εγκαλειν*) ... ϛ *εκκακειν* cum CD[c]EFGKLP al pler Chr Thdrt Dam al | *δοξα υμων*: c 17. 31. 33. 37** 71. 72. 80. 116. f[scr] cop arm Euthal[cod] *δο. ημων*, harl *gloria mea* ... 47. 109. 178. om *ητ. εστ. δοξ. υμ.* Cf ad h. v. Hier[7,596 s]. Ibi de verbis *μη ενκακειν* haec scripsit: „Id quod nunc Latinus translator expressit, *ne deficiatis*, potest iuxta Graeci sermonis ambiguitatem et ita legi: *ne deficiam*, ut sit sensus - *ne deficiam in tribulationibus meis pro vobis*. Hoc est ergo quod apostolus rogat et a domino magnopere deprecatur, ne deficiat in pressuris suis“ - „Potest autem secundum id quod Latinus expressit - *ne deficiatis* - illud exponi quod pro Ephesiis petat ne in pressuris apostoli lassescant atque deficiant, siquidem et ea quae sequuntur huic sensui magis congruunt“ etc.

14. *τον πατερα* sine additam cum ℵ*ABCP 17. 67** demid cop aeth[utr] ar[e] (Clem[ecl proph 994] *εν δε ουρανοισ ο πατηρ, εξ ου πασα πατρια* etc) Or[1,267] et[cat 161] Cyr[hr 112. 115] Epiph[850] Euthal[cod] Cyr[ioh 178. 838] et fid[70] al Hier[dis] Vig[trin 12]; item *τον θεον και πατερα* Meth[719] Did[tri 49] et *τον θεον πατερα* [tri 193]. Sic autem Hier[7,599]: „Porro quod sequitur *ad patrem ex quo omnis paternitas* etc, non ut in Latinis codicibus additum est, *ad patrem domini nostri Iesu Christi*, sed simpliciter *ad patrem* legendum, ut dei patris nomen non domino nostro Iesu Christo, sed omnibus creaturis rationabilibus coaptetur.“ (Tamen paullo ante [7,598] ipse exscripsit: *ad patrem domini nostri Iesu Christi*, si sana est lectio) ...... ϛ (Gb[oo]) add *του κυριου ημων ιησου χριστου* (:: cf 1, 3 etc) cum ℵ[c]DEFGKL al pler it vg (exc demid) go syr[utr] arm Ps-Iust

γῆσ ὀνομάζεται, 16 *ἵνα δῷ ὑμῖν κατὰ τὸ πλοῦτοσ τῆσ δόξησ αὐ-*
Col 1, 11 *τοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματοσ αὐτοῦ εἰσ τὸν ἔσω*
ἄνθρωπον, 17 *κατοικῆσαι τὸν Χριστὸν διὰ τῆσ πίστεωσ ἐν ταῖσ*
καρδίαισ ὑμῶν, 18 *ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα*
ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσιν τοῖσ ἁγίοισ τί τὸ πλάτοσ καὶ
μῆκοσ καὶ βάθοσ καὶ ὕψοσ, 19 *γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆσ*

---

expos[5] Or[1,283] (*τουτου δε ενεκεν, ει μαρτυρω, εβουλομην και τεκνα καταλιπειν μετα αγρων και οικιων, ινα παρα τω θεω και πατρι του κυριου ημ. ιησ. χρ., εξ ου πασα* etc) et[int 2,130. 279. 462] et[4,686] Ephr[3,383] Bas[bapt644] Chr Thdrt Dam Phot[manich 3,16] al cdd[lat] ap Hier Victorin Ambrst al. Cf et. Valentt[hipp 193] *προσ τον θεον και πατερα και κυριον του κυριου ημων* $\overline{\iota\upsilon}$ $\overline{\chi\upsilon}$ etc.

15 *εν ουρανοισ* et. Naass[hipp 97] (*αφ ου πασα πατρια ονομαζομενη επι γησ και εν τοισ ουρανοισ*) Ps-Iust[expos 5] (Clem[964] vide ante) Or[1,267. 283] et[cat] et[int 2,130] Cyr[hr 112. 115] Epiph[896] Cyr[fid 70] al Victorin etc ... P 31. 46. 47. 73. 114. 115. 120. al[2 scr] 8[pe] cat[txt] al syr[sch] et[p mg] go Or[1,267 cod] et[int 2,279. 462] et[4,686] Meth[719] Epiph[850. 859. 940] Ephr[3,383] Bas[bapt644] Cyr[ioh 178. 838] Thdrt Phot[manich 3,16] al *εν ουρανω* (Cyr[ioh] *εν τε ουρ.*)

16. *δω* cum ℵABCFG 17. 37. 39. 116. Or[cat 161] (sec loc) et[163] Meth[719] Ath[543 cdd] Ephr[3,383] Cyr[hr 266] Bas[bapt644] Euthal[cod] Cyr[ioh 178] al ... ς Ti *δωη* cum DEKLP al pler Valentt[hipp 193] Ps-Iust[expos 5] Or[cat 161] (pri loc) Ath[543 ed] Mac[129] Chr Euthal[cod] Cyr[ioh 838] et[fid 70] Thdrt Dam Thphyl Oec | *το πλουτοσ* cum ℵABCD*EFGP 67 116. Ephr[3,383] Ath cdd aliq (17. *το πληθοσ*, ut supra) ... ς *τον πλουτον* cum D[c]KL al pler Ps-Iust[expos 5] Meth[719] Ath[543 ed] Did[tri 49] Bas[bapt644] Chr Euthal[cod] Cyr[ioh 178. 838] et[fid 70] al mu | *δυναμει:* F[gr]G g praem *εν* ... Mac[129] *δυναμιν*, d e fu al[lachm] Ambrst *virtutem*, Aug[mor eccl] *fortitudinem* (sequitur *confortari* d e, f g vg Aug *corroborari*, Ambrst *confirmari*)**

18. c k[scr] *ερριζομενοι* | *εξισχυσητε:* D*P *ισχυσητε* | *βαθοσ και υψοσ* cum ℵAKL al pler syr[p] (syr[sch] libere: *altitudo et profunditas et longitudo et latitudo*) Or[3,248] et[cat 161. 162] (sec loc) et[int 3,108] Eus[mcell 186] Ephr[3,383] Ath[696] Chr[55 bis] Cyr[ioh 838] Thdrt Dam Hier[quinquies] ad h. l. ... Ln *υψοσ κ. βαθοσ* cum BCDEFG 17. 37. 57. 73. 116. it vg go cop arm aeth Or[cat 162] (sec loc) et[int 2,64] Ath[49] Mac[147] Victorin ad h. l. (alibi libere ut etiam apud alios) Ambrst Hier[esa 7] al. Praeterea cf huc Valentt[hipp 193] *τούτου χάριν κάμπτω τὰ γόνατ. μου πρὸσ τ. θεὸν καὶ πατέρα καὶ κύριον τοῦ κυρίου ἡμ.* $\overline{\iota\upsilon}$ $\overline{\chi\upsilon}$, *ἵνα δώῃ ὑμῖν ὁ θεὸσ κατοικῆσαι τὸν* $\overline{\chi\nu}$ *εἰσ τὸν ἔσω ἄνθρωπον τουτέστι τὸν ψυχικόν, οὐ τὸν σωματικόν, ἵνα ἐξισχύσητε νοῆσαι τί τὸ βάθοσ, ὅπερ ἐστὶν ὁ πατὴρ τῶν ὅλων, καὶ τί τὸ πλάτοσ, ὅπερ ἐστὶν ὁ σταυρὸσ ὁ ὅροσ τοῦ πληρώματοσ, ἢ τί τὸ μῆκοσ, τουτέστι τὸ πλήρωμα τῶν αἰώνων.*

19. *τε* et. Eus[mcell 186] Ephr[3,383] etc d e f g vg Victorin Ambrst Hier etc ... D[gr*]F[gr]G[gr] om, nec exprim cop aeth et (ut passim fit) go | *τησ*

γνώσεωσ ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰσ πᾶν τὸ πλή-
ρωμα τοῦ θεοῦ.
20 *Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ ὧν* Ro 16, 25 ss
αἰτούμεθα ἢ νοοῦμεν κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν,
21 *αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ καὶ ἐν Χριστῷ Ἰησοῦ εἰσ πάσασ*
τὰσ γενεὰσ τοῦ αἰῶνοσ τῶν αἰώνων· ἀμήν.

IV.

1 *Παρακαλῶ οὖν ὑμᾶσ ἐγὼ ὁ δέσμιοσ ἐν κυρίῳ, ἀξίωσ περιπα-* 3, 1 Col 1, 10
τῆσαι τῆσ κλήσεωσ ἧσ ἐκλήθητε, 2 *μετὰ πάσησ ταπεινοφροσύνησ* Col 3, 12 ss
καὶ πραΰτητοσ, μετὰ μακροθυμίασ, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ,

---

γνωσεωσ: A 74. 115. a[scr] post *αγαπην* ... 71. tol om (Aug[ep 140] *scientiam caritatis*, sed[ep 147] et[allib] *scientiae caritatem*) | *πληρωθητε* (Euthal[cod] *πληροφοριθητε*) *εισ παν*: B 17. 73. 116. *πληρωθη παν* | *τ. θεου*: 17. *εισ υμασ*

20. *υπερ παντα* et Victorin Hier ... DEFG d e f g vg Ambrst al om *υπερ* ... Thdrt ad h. l. (sed non[4,1278]) om, posito *ποιησαι* post *υπερεκπερ.* | *υπερεκπερισσου*: syr[sch] et[p] c.[*] ob. Ambrst praem *και* ... P om | *δυναμιν*: 47. *ενεργειαν* (:: cf Col 1, 29) | *εν ημιν*: A 39. 63. *εν υμιν*

21. *εν τη εκκλη. και εν χρι. ιησ.* cum ℵABC 17. 73. 80. 213. vg cop Hier al. Eadem habent ς Ti omisso *και* cum D[b]KLP al pler cat[txt] syr[utr] arm aeth go Chr[56] Euthal[cod] Thdrt Dam[txt] (in com vero: *εν χω δε ιυ την δοξαν την αληθη λεγει, και εν τη εκκλη. το ομοιωμα*) Thphyl Oec Vig[tri 12] ... D*FG d e f g Victorin Ambrst *εν χριστω ιησου και τη* (d e f g etc *et in*) *εκκλησια*. Eadem D[c] agnoscit, sed pro *και* substituit (non addit) *εν*, ut iam D[b] praeiverat ... 46. Oros[contr pelag 457] (*Ipsi gloria in Christo Iesu*) om *εν τη εκκλη.*, hinc Gb[0] | *εισ πασασ τασ γενεασ του αιωνοσ των αιωνων*: et. Ir[int 14] *in universas generationes saeculi saeculorum* (graece – *του αιωνοσ των αιωνων*), Hier *in omnibus generationibus saeculi saeculorum*, vg Victorin *et* (vg om) *in omnes generationes saeculi saeculorum* ... FG f tol (hi[2] *in omnes generationes saeculorum*) om *του αιωνοσ*, hinc Gb[0]. Similiter d e Ambrst auct[voc gent 1,24] *et* (auct[voc gent] om) *in omnia saecula saeculorum*, item g *in omnia saecula t generationes saeculorum* | *αμην*: 57. 67** om

IV. 1. Totum versum habet Ign[intpol 306] (ad Antioch[1]) | *εν κυριω*: ℵ aeth *εν χριστω* | *περιπατησαι*: 17. *περιπατησατε*

2. *πραΰτητοσ* cum ℵBC 17. ... ς Ln *πραοτητοσ* cum ADEFGLO[b] al fere omn Chr[60] Euthal[cod] Thdrt Dam al ... K *υπακοησ* | *εν αγαπη*: Ln cum seqq coniung, id quod confirmat Or[cat 165] (non item Chr[81] Antioch[1133]): *ἐφεσίοισ μὲν οὖν τοῖσ ἤδη ἐσχηκόσι τὴν ἑνότητα τοῦ πνεύματοσ καὶ δεομένοισ τηρεῖν ταύτην λέγεται ἐν ἀγάπῃ σπουδάζοντεσ*

3 σπουδάζοντεσ τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματοσ ἐν τῷ συνδέσμῳ
τῆσ εἰρήνησ. 4 ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼσ καὶ ἐκλήθητε ἐν
1 Co 8, 6 12, 5 μιᾷ ἐλπίδι τῆσ κλήσεωσ ὑμῶν· 5 εἷσ κύριοσ, μία πίστισ, ἓν βάπτισμα·
1 Ti 2, 5 6 εἷσ θεὸσ καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ
ἐν πᾶσιν. 7 ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρισ κατὰ τὸ μέτρον

τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματοσ. Paullo post: *τηρεῖται δὲ ἡ ἑνότησ τοῦ πνεύματοσ τῆσ ἀγάπησ συνδεούσησ τοὺσ κατὰ τὸ πνεῦμα ἑνουμένουσ.*

3. *ειρηνησ*: ℵ 1. *αγαπησ*, item in a[scr] *αγαπησ* ante *ειρηνησ* rubro scriptum, sed erasum est. Cf et. quae ex Or[cat] ad v. 2. dedimus.

4. *καθωσ και* et. fu tol cop syr[p] arm Hil[1081] Hier (hi[2] *sicut et*) Victorin (*ut et*) etc ... B 19. 32. 39. 43. 55. 114. 213. 238. k[scr] vg (et. 109[lat]; non item fu tol) go syr[sch] aeth Firmil ap Cyp[150] Ambrst (*ita ut vocati estis*) om *και*. Cf et. ad h. v. Ign[intpol 264] (ad Phil[2]) *ἓν γάρ φησιν καὶ πνεῦμα, ἐπειδὴ ἐκλήθημεν ἐν μιᾷ ἐλπίδι τῆσ κλήσεωσ ἡμῶν.* Ibidem paullo ante legitur: *εἷσ γὰρ κύριοσ, μία πίστισ, ἓν βάπτισμα· εἷσ θεὸσ καὶ πατὴρ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν*, quae cferenda sunt ad vv. 5 et 6. Item cf ad v. 4 sqq Ign[intpol 324] (ad Eph[6]) *καί ἐστε, ὡσ παῦλοσ ὑμῖν ἔγραφεν, ἓν σῶμα καὶ ἓν πνεῦμα, διὰ τὸ καὶ ἐν μιᾷ ἐλπίδι κεκλῆσθαι τῆσ πίστεωσ· ἐπείπερ καὶ εἷσ κύριοσ, μία πίστισ, ἓν βάπτισμα, εἷσ θεὸσ καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν.* Cf et. Or[3,439] *εἷσ θεὸσ καὶ εἷσ χριστὸσ καὶ μία πίστισ καὶ ἓν βάπτισμα*, et Cyp[142] *unus deus et Christus unus, et una spes et fides una, et una ecclesia et baptisma unum nonnisi in una ecclesia constitutum.* Mcion[epiph 319] versus 5. et 6. cum editis consentientes dat, sed[374] post *εν βαπτισμα* add *εισ χριστοσ*.

6. *και πατηρ* et. Ign[intpol 264] et[324] Mcion[epiph 319] Or[cat 169] Cyr[fid 107] etc Ir[int 270] Firmil ap Cyp[150] Victorin Hil[967] Ambrst al ... 38. 47. 114. syr[sch] ar[e] Eus[mcell 174] Chr[92 txt] (non item[93 com bis]) Ir[int 118. 253] om *και* | *ο επι παντων* et. Ir[int] Firmil ap Cypr etc: 2. 46. Ign[intpol 264] (non item[324]) Cyr[fid 107] Hil[967. 1081] om. Libere transp Dial[869]: *φησι γαρ παυλοσ· εισ θεοσ πατηρ παντων και εν πασιν ημιν, πατηρ επι παντων θεοσ.* | *και δια παντων* et. Ir[int 118] et[315] ... Ir[int 253] et[270] om. Ceterum vertunt *ο επι παντ. και δια παντων* d e f vg Ir[int 118] Firmil ap Cyp al *qui super omnes et per omnia*, Ir[int 315] *qui super omnia et per omnia*, Victorin *qui super omnia et per omnes*, g m[5] Amb[luc 11] et[30] Ambrst Hier Aug[ioh 99] *qui super omnes et per omnes* | *και εν πασιν* et. Mcion[epiph 319] et[374] Eus[ps 597] et[mcell 174] Mcell[eus 131] Ath[541] etc Ir[int 118. 253. 270. 315] Firmil ap Cypr[150] Hil[1081] etc ... B 32. Victorin om *και* | *πασιν* sine additam cum ℵABC°[b]P 17. 31. 67** 71. 73. 80. 109. 177. cop aeth[utr] ar[e] Mcion[epiph bis] Ign[intpol 324] et[264] Or[cat 170] Eus[ps] et[mcell] Mcell[eus] Ath Euthal[cod] Cyr[ioh 1000] et[fid 107] al Victorin[adv ari 1,21] (Gall 8,159) Hier[7,609. 610. 611] Amb[luc 11] et[20] ... ς (= Gb Sz) add *υμιν* cum minusc pauc Chr[93 com] (*ὁ ἐν πᾶσιν ὑμῖν τουτέστιν ὁ ἐν πᾶσιν οἰκῶν*, sed[92 txt] om *υμιν*) Thdrt Thphyl Oec. Item Gb Sz add *ημιν* (tamen

τῆσ δωρεᾶσ τοῦ Χριστοῦ. 8 *διὸ λέγει· ἀναβὰσ εἰσ ὕψοσ ἠχμαλώ-* Ps 67 (68), 19
τευσεν αἰχμαλωσίαν, ἔδωκεν δόματα τοῖσ ἀνθρώποισ. 9 *τὸ δὲ*
ἀνέβη τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη εἰσ τὰ κατώτερα μέρη τῆσ γῆσ;

Gb[00]) cum DEFGKL al[50] d e f g m[5] vg syr[utr] arm go Dial[869] Dam Phot[manich 3,16] al Ir[int 118. 253. 270. 315] Firmil ap Cyp[150] Hil[1082] Victorin ad h. l. Ambrst[txt] 3t[com] al

7. *ημων*: B 38. 109. k[scr] Thdrt *υμων* | *εδοθη η χα.* cum ℵACD[c]EKP[corr] al pler Or[cat 170] Chr Thdrt al; item 10. 31. Cyr[fid 107] *η χαρισ αυτη* ... Ln om *η* (:: post *εδοθη*) cum BD*FGLO[b]P* 1. 108* 40[lect] k[scr] arm Euthal[cod] Dam | *κατα*: D[gr] *και*

8. *ηχμαλωτευσεν* cum ℵBCDEFGKP al pler it vg rell Iust[dial 39. 87] Ir[int 145] Or[2,753] et[cat 162] et[int 2,106. 342. 3,456] Eus[ecl 102] Chr[94] Euthal[cod] Cyr[act 59] Thdrt Dam al Tert[marc 5,8. 18] Lcif[196] Victorin Hil[120] al ... AL 2. 32. 43. 47. 52. 55. 63. 71. 114. 8[lect] al[8 scr] aeth[utr] Thdrt[cod] *ηχμαλωτευσασ* (nonnulli ex minusc *αιχμαλ.*). Sed ex his tantum aeth[utr] etiam *εδωκασ* | *εδωκεν* absque *και* cum ℵ*AC[2]D*FG 17. 108* 7[lect] cat[txt] d e f g vg cop arm Iust[dial 39. 87] Ir[int 145] Or[int 3,456] Eus[eclo 102] Tert[marc 5,8] Lcif[196] Hil[120] Hier Ambrst al mu ... ϛ Ti praem *και* (Gb[00]) cum ℵ[c]BC*et[c]D[c]KLP al pler syr[utr] go aeth Or[2,753] Chr Euthal[cod] Cyr[act 59] Thdrt Dam Victorin | *τοισ ανθρωποισ* (Tert[marc 5,8] *filiis hominum* – „eleganter *filiis hominum* ait, non passim *hominibus*") ... F[gr]G g Or[int 3,456] Eus[ecl 102] Hil[120] Hier ad h. l. (non item[alibi]) *εν ανθρωποισ* :: LXX totum locum sic habent: *αναβασ* (ℵ[c]B** al plurim *ανεβησ*, ℵ* al pauc itala *ανεβη*, item Iust[dial 39. 87] *ανεβη*) *εισ υψ. ηχμαλωτευσασ* (ℵ* *–σεν*) *αιχμαλωσιαν*, *ελαβεσ δοματα εν ανθρωπω* (ℵ* al plurim *-ποισ*). Nihilominus non videbatur *και* ante *εδωκεν* retinendum. Quum enim facile illud quidem etiam invita editione Alexandrina aliena manu inferri poterat, tum minime probabile est *και* duce editione illa expulsum esse eis quae vel maxime differunt intactis relictis. A patribus quidem inter LXX et Pauli verba non satis distinctum esse planissimum fit ex Cyr[ador 470]: *ψάλλει δέ που καὶ ὁ θεσπέσιοσ μελῳδὸσ ὅτι ἀναβὰσ εἰσ ὕψοσ ἠχμαλώτευσεν αἰχμαλωσίαν, ἔδωκε δόματα τοῖσ ἀνθρώποισ.* Alibi unde afferant verba in ambiguo est. Illud vero credi nequit, eundem afferendo *ἔδωκεν δόματα τοῖσ ἀνθρώποισ* a Paulo et omittendo *και* a LXX pendere.

9. *κατεβη* sine additam cum ℵ*AC*DEFGO[b] 17. 46. 67** 73. cat[txt] d e g am* cop sah (huc enim respicit quod laudatur: *qui enim descendit in profunditates terrae*) aeth[utr] Ir[int 259. 331] Thdot ap Clem[969] Or[4,303. 304] et[cat 162] et[int 3,258] Eus[eclo 101] Chr[94 sec loc] Euthal[cod] Cyr[act 59] Thdrt Oec[txt] Tert[prax 30] Lcif[196] Hil[120. 201. 1077] Victorin Aug[civ dei 17,4] Hier al ... ϛ (= Gb Sz) add *πρωτον* cum ℵ[c]BC[c]KLP al pler f vg go syr[utr] arm Eus[dem 260] Thdrt Dam al Ambrst | *κατωτερα* et. Or[4,303] Eus[ecl 101] et[ps 305] al Tert[prax 30] Lcif Hil Victorin etc ... Thdot ap Clem[969] Or[4,304] et[cat 162] Eus[dem 260] Cyr[act 59] *κατωτατα* | *μερη* cum ℵABCD[c]KLP al omn[vid] f vg cop arm syr[p] (et.[mg gr]) Or[4,303] Eus[dem ed] et[eclo 101] Chr[94] Euthal[cod] Cyr[act 59] Thdrt Dam al Aug[civ dei 17,4] et[trin 15] al ... Gb[00]

10 ὁ καταβὰσ αὐτόσ ἐστιν καὶ ὁ ἀναβὰσ ὑπεράνω πάντων τῶν
1 Co 12, 28 οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. 11 καὶ αὐτὸσ ἔδωκεν τοὺσ μὲν
ἀποστόλουσ, τοὺσ δὲ προφήτασ, τοὺσ δὲ εὐαγγελιστάσ, τοὺσ δὲ
ποιμένασ καὶ διδασκάλουσ, 12 πρὸσ τὸν καταρτισμὸν τῶν ἁγίων
εἰσ ἔργον διακονίασ, εἰσ οἰκοδομὴν τοῦ σώματοσ τοῦ Χριστοῦ,
13 μέχρι καταντήσωμεν οἱ πάντεσ εἰσ τὴν ἑνότητα τῆσ πίστεωσ
καὶ τῆσ ἐπιγνώσεωσ τοῦ υἱοῦ τοῦ θεοῦ, εἰσ ἄνδρα τέλειον, εἰσ μέ-
τρον ἡλικίασ τοῦ πληρώματοσ τοῦ Χριστοῦ, 14 ἵνα μηκέτι ὦμεν
νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆσ διδα-
σκαλίασ ἐν τῇ κυβίᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸσ τὴν με-
1, 22 5, 23 Col 1, 18 θοδίαν τῆσ πλάνησ, 15 ἀληθεύοντεσ δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰσ

Ti om cum D*KF[gr]G d e g go syr[sch] ar[e] aeth Ir[int 259. 331] Thdot ap Clem Or[4,304] et[cat] Eus[dem cdd] et[ps] Tert[prax] Hil Lcif Victorin al :: pro ratione testimoniorum statuendum est μερη abundare visum esse

10. παντων et. Or[1,353] et[2,755] et[3,248] et[4,305] Eus[eclo 82. 143] et[ps 305. 356] Did tri[22] Ath[707] Cyr[act 59] etc ... P 113. a[scr] Thdot ap Clem[p69] Eus[eclo 101] om | πληρωση: L 116. -σει. Praeterea 47. add εαυτω (et[corr] εαυτου)

11. εδωκεν: syr[p] c.* add *in ecclesia*. Similiter Clem[324] δεδωκε δε ο θεοσ τη εκκλησια τουσ μεν αποστολουσ etc (non item[624] επει δε ο παντοκρατωρ θεοσ αυτοσ εδωκεν τουσ μεν αποστολουσ etc), item Or[4,5] ο θεοσ εθετο εν τη εκκλησια αποστολουσ και προφητασ etc :: fluxit additamentum ex 1 Co 12, 28 | τουσ δε ευαγγελιστασ: K praetermisit

12. προσ τον: 1. 109. 114. 121. 178. om τον | διακονιασ: D*FG praem τησ

13. καταντησωμεν et. Clem[108] Or[3,605] etc ... 44. 48. 72. 113. a[scr] al plus 20 Clem[624] Chr[96] -σομεν ... F[gr]G[gr] -σω | οι παντεσ et. Clem[108] Or[3,445] etc (cf et. Hipp[antichr 3 extr] - εισ ενα τελειον κ. επουρανιον ανθρωπον οι παντεσ καταντησαι επιθυμουμεν) ... D*FG 8[pe] Clem[624] Or[3,605] om οι | του υιου του θεου et. Clem[624] Or[cat 171] Amb[ep 75] Hier etc ... F[gr]G g Clem[108] Lcif[196] om του υιου ... Victorin *Christi*

14. νηπιοι et. Clem[108] Or[1,590] et[cat 171] Cyr[ioh 999] al mu Lcif[196] Victorin etc ... A ηπιοι (praecedente -ν) ... Or[3,313] om | κυβια cum ℵB*D*FG O[b]P Euthal[cod] ... ς Ln Ti κυβεια cum AB[3]CD[c]EKL al pler | πανουργια: FG 39. 116. a[scr] praem τη | πρ. τ. μεθοδιαν cum ℵ(A vide post) B*D*FGKLO[b]P al plus[10] Euthal[cod] (editum est etiam Or[1,590]) ... ς Ln πρ. τ. μεθοδειαν cum B[c]CD[c]E al longe pler Chr etc ... A cop πρ. τασ μεθοδιασ, 17. πρ. την μεθοδον, Or[3,313] εν τη μεθοδεια ... d e g Or[int 3,921] Lcif[196] Victorin Ambrst *ad remedium*. Contra f vg Hier al *ad circumventionem* | τησ πλανησ (Or[3,313] του πλανουσ): A add του διαβολου :: cf 6, 11

15. αληθευοντεσ δε et. Clem[108] etc ... FG αληθιαν δε ποιουντεσ, item *veritatem autem facientes* d e f g vg Lcif[196] Victorin Ambrst Hier ad h. l. (sed[quaest 10 algas] *verit. aut. loquentes*) etc | αυξησωμεν: F[gr]G[gr]

αὐτὸν τὰ πάντα, ὅσ ἐστιν ἡ κεφαλή, Χριστόσ, 16 *ἐξ οὗ πᾶν τὸ*
σῶμα συναρμολογούμενον καὶ συνβιβαζόμενον διὰ πάσησ ἁφῆσ τῆσ Col 2, 19
ἐπιχορηγίασ κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸσ ἑκάστου μέρουσ τὴν αὔ-
ξησιν τοῦ σώματοσ ποιεῖται εἰσ οἰκοδομὴν αὐτοῦ ἐν ἀγάπῃ.
17 *Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ, μηκέτι ὑμᾶσ*
περιπατεῖν καθὼσ καὶ τὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ
νοὸσ αὐτῶν, 18 *ἐσκοτωμένοι τῇ διανοίᾳ ὄντεσ, ἀπηλλοτριωμέ-* Col 1, 21

---

115. *-σομεν* | *οσ*: DE 73. *ο* | *η κεφαλη*: D*FG om *η*, item Clem^{108} – *αυξησ. εισ αυτον τα παντα· ταυτα λεγων εισ οικοδομην του σωματ. του* $\overline{χυ}$, *οσ εστι κεφαλη και ανηρ* etc | *χριστοσ* cum ℵ*ABC 17. 67** 73. Did$^{tri\,412}$ Bas^{3,8} Cyr$^{ioh\,999}$ Dam ... ς praem *ο* cum ℵ^{c}DEFGKLP al pler Chr Thdrt al

16. *συνβιβαζ.* cum ℵAB*CD*FG ... ς Ln *συμβιβ-* cum B^{3}D^{c}EKLP etc | *κατ ενεργειαν* (17. *κατα την ενεργ.*): FG d e f g arm^{usc} Ir$^{int\,270}$ Lcif^{196} Victorin al (non item Amb Ambrst Hier al) om. Contra vide Amb$^{ep\,76,1088}$ *ex quo totum corpus fidelium et sapientium, per harmoniam rationabilem verbi, hoc est enim συναρμολογουμενον, αρμονια του λογου δεδεμενον, id est harmonia verbi compaginatum et compactum atque connexum per omnem iuncturam ministrationis, in mensuram uniuscuiusque partis, augmentum corporis facit in aedificationem sui in caritate: ut adsurgat unum templum dei in omnibus – ut per harmoniam quandam virtutum ac ministeriorum corpus unum ex omnibus rationabilis naturae spiritibus adhaereat capiti suo Christo, ita aedificationis compage connexa ut ne tactu quidem iunctura singulorum adhaerentium discrepare videatur. Hoc est enim quod αφην dixit Graecus τησ χορηγιασ κατ ενεργειαν εν μετρω.* | *εν μετρω*: K 3. c^{scr} arm^{usc} om | *μερουσ* cum ℵBDEFGKLO^{b}P al pler d e f g syr^{p} (et.$^{mg\,graece}$) arm aeth go Bas^{3,8} ex^{cdd} omn Euthal^{cod} Thdrt Dam al Ir$^{int\,270}$ Lcif^{196} Victorin Ambrst al ... Gb' *μελουσ* cum AC 14. 66^{mg} vg syr^{sch} cop Bas^{ed} Chr Cyr$^{ioh\,999}$ Thphyl^{mg} Hier al | *του σωματοσ* (112. 238. c^{scr} post *ποιειται*): K om | *εισ οικοδομ. αυτου* cum ℵD*FG 37. 106. 109. a^{scr} Cyr$^{zach\,690}$ ... ς Ln Ti *ε. οικ. εαυτου* cum ABCD^{c}EKLO^{b}P al pler Chr^{97} Euthal^{cod} Cyr$^{ioh\,999}$ Thdrt Dam al. Latini *in aedificationem sui.*

17. *μαρτυρομαι*: P *-ρωμαι* | *εθνη* cum ℵ*ABD*FGO^{b} 10. 17. 47. 51. 67** d e f g m^{94} vg sah cop aeth^{utr} Clem^{69} Euthal^{cod} Dam^{paris} Lcif^{196} Victorin Hier Ambrst al ... ς (sed Gb^{oo}) Ti praem *λοιπα* cum ℵ^{c}D$^{b\,et\,c}$EKLP al pler syr^{utr} go arm Ephr^{1,32} Chr Thdrt (*τα λοιπα εθνη τα μηδεπω πεπιστευκοτα λεγει*) Dam ad h. l. al :: cf 1 The 4, 5

18. *εσκοτωμενοι* cum ℵAB 17. Ath^{959} (:: eadem forma Clem$^{rom\,36}$ ex A; plerumq cum altera permutata est, ut Apoc 9, 2. 16, 10; nec aliter in LXX, quemadmodum Ps 73, 20 pro *εσκοτωμενοι* pleriq *εσκοτισμ.* substituerunt) ... ς *εσκοτισμενοι* cum DEFGKLO^{b}P al pler Clem^{69} Ephr^{1,32} Chr Euthal^{cod} Thdrt Dam^{paris} al. Or$^{cat\,175}$ utramque formam agnoscere videtur: *ὅτε δὲ ἡ διάνοια – τότε ἐσκοτῶσθαι εὐλόγωσ ἂν λέγοιτο. οὔτ' οὖν ἐν ματαιότητι τοῦ νοὸσ εἶναι δεῖ οὔτε ἐσκοτισμέ-*

νοι τῆσ ζωῆσ τοῦ θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖσ, διὰ
τὴν πώρωσιν τῆσ καρδίασ αὐτῶν, 19 *οἵτινεσ ἀπηλγηκότεσ ἑαυτοὺσ*
παρέδωκαν τῇ ἀσελγείᾳ εἰσ ἐργασίαν ἀκαθαρσίασ πάσησ ἐν πλεο-
νεξίᾳ. 20 *ὑμεῖσ δὲ οὐχ οὕτωσ ἐμάθετε τὸν Χριστόν,* 21 *εἴγε αὐ-*
τὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε καθώσ ἐστιν ἀλήθεια ἐν
Col 3, 9 *τῷ Ἰησοῦ,* 22 *ἀποθέσθαι ὑμᾶσ κατὰ τὴν προτέραν ἀναστροφὴν*
τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰσ ἐπιθυμίασ τῆσ

νουσ τῇ διανοίᾳ etc. Rursus[180] habet *ἐσκοτισμένοσ.* | *οντεσ:* ς cum seqq conig ... FG Thphyl om. Non exprimunt d e g Lcif Victorin Ambrst Hier al; habent enim *obscurati intellectu* (Hier *mente*); item f vg m[94] etc *tenebris obscuratum* (m[94] *obcaecatum*) *habentes intellectum* | *αγνοιαν:* FG *αγνωσιαν* | *πωρωσιν:* P 17. *πορρωσιν*

19. *απηλγηκοτεσ* et. syr[p mg gr] Clem[69] Or[3,152] et[cat 175] et[ps] ap Gall[14,67] etc. Cf Hier ad h. l. „quod autem ait *qui desperantes semetipsos*, id est *απηλγηκοτεσ εαυτουσ*, multo aliud in Graeco significat quam in Latino: *desperantes* quippe *απηλπικοτεσ* nominantur, *απηλγηκοτεσ* autem hi sunt qui postquam peccaverint non dolent." „Exprimamus si possimus verbum de verbo et dicamus *απηλγηκοτεσ* indolentes sive indolorios." (At non mutavit editionem vulgatam.) Item *απηλγηκοτεσ* expresserunt syr[p] sah (*non dolentes*), cop *habentes dolores* ...... DE *απηλπικοτεσ*, FG *αφηλπικοτεσ*, item *desperantes* d e f g m[94] vg go syr[sch] (*hi qui absciderunt spem suam*) arm aeth Victorin Ambrst al | *εισ εργασιαν ακαθαρσιασ πασησ:* A vitiose *ε[ισ ακα]θαρσιαν πασησ* | *πασησ* post *ακαθαρσ.* cum ℵABKLP al pler m[94] vg go sah cop Clem[69] (Or[cat 175] *εισ εργ. ακαθαρσ. απασησ μετα του πλεονεκτειν*) Chr Euthal[cod] Thdrt al (et. Dam[paris]) Hier Ambrst ... DEFG 37. 73. 116. 8[pe] d e f g syr[utr] arm Victorin ante *ακαθαρσ.* | *εν πλεονεξια* et. vg Hier ... DEFG 39. d e f g m[94] aeth Clem[69] Victorin Ambrst al *και πλεονεξιασ*

21. *αληθεια:* FG *η αλ.* Ceterum cf huc Hier[7,624]: „Quia videtur iuxta ordinem textumque sermonis scatere sententia, sic legendum est: *Vos autem non ita didicistis Christum, si tamen illum audistis, et in illo docti estis deponere vos secundum - veterem hominem qui corrumpitur iuxta desideria erroris: sicut est veritas in Iesu*, ut sit sensus: Quomodo est veritas in Iesu, sic erit et in vobis qui didicistis Christum et audistis illum et docti estis deponere" etc.

22. *αποθεσθαι υμασ:* hal aeth Victorin Pelag *deponite vos*, item Dam[paris] *αποθεσθε.* Cf et. Cyp[308]: „De hoc ipso ad Ephesios: *Exponite prioris conversationis veterem homin.* etc. Contra Lc[brug]: „Legendum est *deponere*, non *deponite*". | *την προτερ. αναστροφην:* L om | *τασ επιθυμιασ* et. Clem[262. 524] Or[3,579. 768. 773. 787] et[cat 180] Cyp[308] Hil[1138] Aug[ps 25] et[saep] Hier Ambrst etc ... DE d e Ter[res carn 45] Lcif[196] Victorin *την επιθυμιαν*

ἀπάτησ, 23 *ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸσ ὑμῶν* 24 *καὶ*
ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα ἐν Col 3, 10
δικαιοσύνῃ καὶ ὁσιότητι τῆσ ἀληθείασ.
25 *Διὸ ἀποθέμενοι τὸ ψεῦδοσ λαλεῖτε ἀλήθειαν ἕκαστοσ μετὰ* Zach 8, 16
τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. 26 *ὀργίζεσθε καὶ μὴ* Ps 4, 5 (4)
ἁμαρτάνετε· ὁ ἥλιοσ μὴ ἐπιδυέτω ἐπὶ παροργισμῷ ὑμῶν, 27 *μηδὲ*
δίδοτε τόπον τῷ διαβόλῳ. 28 *ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον*

---

23. *ανανεουσθαι*: D[b] (non item[c]) 10. 14. 17. 31. 33. 37. 43. 47. 73. 114. k[scr] al d e f g m[94] vg sah cop syr[utr] Clem[262] (non item[524]) Chr[112] Cyp[308] Lcif[196] Hil[1138] Victorin Ambrst Hier al *ανανεουσθε* | *δε*: F[gr]G g aeth om; hinc (ex errore de B) Ln [*δε*] | *τω πνευματι*: B praem *εν*, item sah cop. Nec aliter Chr[112 com]: *εν τω πνευματι του νοοσ υμων, φησιν.* Sed paullo post dicit *τω πνευμ.*

24. *ενδυσασθαι*: ℵB*D[b]et[c](certe[c] non mutavit[b])K 4. 10. 14. 31. 37. 43. 47. k[scr] etc (iidem fere qui *ανανεουσθε*, sed non 17. al; accedunt vero etiam alii) d e f g m[94] vg syr[utr] cop (sah *et induentes*) Clem[262. 524] Eus[mcell 151] (*και το· ενδυσασθε τον καινον ανθρωπ.*) Chr Cyp Lcif Hil Victorin Ambrst Hier al *ενδυσασθε* | *εν δικαι. και οσιοτ.* et. Clem[262. 371. 524] etc ... ℵ* (non item[c]) *εν οσιοτ. κ. δικαι.* Similiter Ambrst *in veritate et iustitia.* | *τησ* (46. 109. 219. om) *αληθειασ* et. Clem[ter] Tert[res carn 45] (*in iustitia et religione veritatis*) Victorin Hier al ... D*F[gr]G d e g m[94] (non f vg) Cyp[308] Lcif[196] Hil[1138] Amb[spir sa 2,646] (*in veritate et iustitia et sanctitate*) al *και αληθεια, et veritate.* Praeterea cf ad h. v. Hier[7,626]: „Quod autem dicit: *qui secundum deum creatus est,* non id ipsum sonat in Latino sermone quod Graeco. *Creatio* quippe apud nos *generatio* vel *nativitas* dicitur; apud Graecos vero sub nomine *creationis* verbum *facturae* et *conditionis* accipitur. Et quod apud nos *conditio*, hoc apud Graecos *creatio* sonat."

25. *λαλ. αληθειαν εκαστοσ* et. Ir[int 282] Clem[308] (sed[edd 2] om *εκαστ.*) Tert[res carn 45] Or[int 1,39] etc (videntur etiam Origenis esse quae cat[162] sine nomine auctoris praebet: *το δε· λαλειτε αληθ. εκαστ.* etc, quam in rem cf Hier) ... ℵ* (non item[c]) *εκαστ. αληθ.* | *μετα του*: ℵ* (non item[a]) *προσ τον* | *αλληλων*: ς (non ς[e] Gb Sz) *αλληλοιν* sine teste ut[vid]

26. *οργιζεσθε*: F[gr]G g m[86] go Tert[res carn 45] Victorin[bis] add *δε* | *επι* (*super iracundiam vestram* d e f m[86] vg etc, g *super iracundia vestra*): D[gr*] 3. *εν* | *παροργισμω* sine articulo cum ℵ*AB ... ς Ti praem *τω* cum ℵ[c]DEFGKLP al omn[vid] Clem[308] Dial[818] Ath[669] Epiph[507] Ps-Ath[328. 406. 639] Chr Euthal[cod] Thdrt Dam ad h. l. et[parall 329. 651] al

27. *μηδε* (Gb") cum ℵABDEFGKLP al plu (9 ap Scri) Clem[308] etc ... ς *μητε* cum minusc Chr[119] (non item[118]) Thdrt ... 8. 114. Thphyl *μη*, item Clem[371] (sed non affert una quae praecedunt) Or[3,608] (*καὶ τό· μὴ δῶτε* etc). Cf et. m[82] vg Cyp[102] al (non item Hier; Ambrst fluct lectio) *nolite locum dare*

δὲ κοπιάτω ἐργαζόμενοσ ταῖσ ἰδίαισ χερσὶν τὸ ἀγαθόν, ἵνα ἔχῃ
μεταδιδόναι τῷ χρείαν ἔχοντι. 29 *πᾶσ λόγοσ σαπρὸσ ἐκ τοῦ στό-*
ματοσ ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλὰ εἴ τισ ἀγαθὸσ πρὸσ οἰκοδομὴν
τῆσ χρείασ, ἵνα δῷ χάριν τοῖσ ἀκούουσιν. 30 *καὶ μὴ λυπεῖτε τὸ*
1, 13 *πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰσ ἡμέραν ἀπολυ-*
Col 3, 8 *τρώσεωσ.* 31 *πᾶσα πικρία καὶ θυμὸσ καὶ ὀργὴ καὶ κραυγὴ καὶ*

---

28. *ταισ ιδιαισ χερσιν το αγαθον* cum ℵ*ADEFG 37. (47. omisso *χερσιν*) 57. 73. 116. 3^{pe} d e f g vg (et. fu demid etc) go cop sah (*το αγαθ.* post *ινα εχη* posito) arm aeth syr^{sch} et ar^{e} (hi^{2} *ταισ ιδ. χερσ.* post *κοπιατω* pon) syr^{p} (*το αγ. τ. ιδ. χ.*) Bas$^{regg\,485}$ Euthal^{cod} Antioch^{1093} Dam$^{parall\,565}$ (et.^{paris}) Hier Aug$^{serm\,dom\,2}$ et^{contmendac} al. Item K al fere^{15} Thdrt *το αγαθ. ταισ ιδι. χερσ.* (46. *ταισ χε. αυτου*) ... ς Ti *το αγαθ. ταισ χερσιν* cum L al plu Chr^{121} Dam ad h. l. Thphyl Oec. Item ℵ^{c}B am Ambrst *ταισ χερσ. το αγαθον* ... P 17. 67** m^{82} Clem^{308} et^{371} *το αγαθον* (omissis *τ. ιδ. χε.*), contra Tert$^{res\,carn\,45}$ *manibus* (omisso *το αγαθον*). Cf et. Epiph^{92} *εργαζομενοι ταισ ιδιαισ χερσιν ινα δυνησθε και τοισ μη εχουσι μεταδουναι* :: videtur *ιδιαισ* huic loco contra *τον κλεπτοντα* scripto parum aptum esse habitum. | *ινα εχη* (3^{pe} *σχη*): ℵ* Clem^{371} *ινα εχητε* (ℵ* *–ται*) ... LP 17. 114. 116. al *ινα εχει* | *μεταδιδοναι*: D*FG Clem^{371} (non item^{308}) Dam^{paris} *μεταδουναι* (E *μεταδόναι* confusis lectionibus D*et^{c})

29. *αλλα* cum BD* ... ς *αλλ* cum ℵAD^{c}EFGK^{sil}LP etc | *αγαθοσ*: FG add *εστιν*, item f g demid tol al^{lachm} | *τησ χρειασ* cum ℵABD^{c}E**KLP al fere omn am fu^{vict} tol demid syr^{utr} sah cop arm (aeth, sed libere circumscribit) cdd^{gr} ap Hier Clem^{371} Or$^{cat\,184}$ Chr Euthal^{cod} Thdrt Dam al Hier. Et Hier^{7,682} sic: „Pro eo autem quod nos posuimus *ad aedificationem opportunitatis*, hoc est quod dicitur Graece *τησ χρειασ*, in Latinis codicibus propter euphoniam mutavit interpres et posuit *ad aedificationem fidei*". Contra Lc^{brug}: „Non legas *opportunitatis* pro *fidei*". ...... Gb' *τησ πιστεωσ* cum D*E*FG 46. d e f g vg^{cle} (et fu* *opportunitatis fidei*) go arm^{mg} (in edd^{amst} et^{const}) Nyss^{1,449} (in Ecclesiasten^{7}) Bas$^{regg\,423.\,485}$ et^{alib} al Tert$^{res\,carn\,45}$ Cyp^{57} Victorin Ambrst al | *δω*: D*FG *δοι*, K *μεταδιδω*

30. *λυπειτε*: KL al^{10} Cyr$^{hr\,282}$ Bas$^{regg\,423}$ (sed$^{cdd\,2}$ *λυπειτε*) Thdrt *λυπητε* | *το πνευμ. το αγι.* et. Thdot ap Clem^{971} Or(ut^{vl})$^{cat\,185}$ Ath^{523} et^{alib} Cyr^{hr} Bas^{regg} et$^{eth\,330}$ Cyr$^{glaph\,127}$ etc Tert$^{res\,carn\,45}$ (*spir. dei sanct.*) et$^{mart\,1}$ (om *dei*) Cyp$^{252.\,306}$ Hil^{808} Victorin Ambrst al ... D* et^{c}EFG d e g go *το αγι. πνευ.* | *του θεου*: 2. 49. aeth Ath^{553} (non^{523}) Epiph^{893} et^{2,78} Chr^{123} Tert$^{mart\,1}$ om

31. *θυμοσ και οργη* cum ℵABKLP al pler go etc Or$^{cat\,187}$ Bas$^{eth\,288}$ Chr^{125} Euthal^{cod} al mu Hier (*furor et ira*) ... DEFG 37. 46. 55. 73. 116. d e f g vg cop Clem^{308} Ps-Ath^{823} Cyp$^{252.\,306}$ Ambrst *οργη και θυμοσ* (*ira et indignatio*) ... Tert$^{res\,carn}$ tantum *ira* habet, Victorin tantum *indignatio*. De differentia *θυμου* et *οργησ* cf Or$^{cat\,186}$: *ὀργή ἐστιν ἐπιθυμία πονηρίασ τοῦ δοκοῦντοσ οὐ προσηκόντωσ ἠδικηκέναι – θυ-*

βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. 32 *γίνεσθε δὲ*
εἰσ ἀλλήλουσ χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖσ καθὼσ Col 3, 12.
καὶ ὁ θεὸσ ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

V.

1 *Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ, ὡσ τέκνα ἀγαπητά,* 2 *καὶ*
περιπατεῖτε ἐν ἀγάπῃ, καθὼσ καὶ ὁ Χριστὸσ ἠγάπησεν ὑμᾶσ καὶ Ga 2, 20
παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰσ
ὀσμὴν εὐωδίασ.
3 *Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα ἢ πλεονεξία μηδὲ ὀνομα-* Col 3, 5. 15

μὸν δέ (φασιν) ὀργὴν ἐναρχομένην etc. | *και κραυγη*: L om (115. habet in mg) | *και βλασφημια*: 17. om | A *αρθητων*

32. *δε* cum ℵAD^{c}EKLP al pler f vg sah cop syr^{p} (syr^{sch} aeth^{utr} *et* -) Chr Euthal^{cod} Thdrt Dam (et. Dam^{paris}) Thphyl Tert$^{res\ carn\ 45}$ Victorin Ambrst Hier al ... D*F^{gr}G 6^{lect} 14$^{lect\ semel}$ d e g (go ambiguum) *ουν* ... Ln (sed errat de d) om cum B 32. 47. 69. 177. 14^{lect} k^{scr} arm Clem^{308} Or$^{cat\ 188}$ Dam$^{parall\ 329.\ 353}$ Oec | DEFG *ευσπλανχνοι* | *ο θεοσ εν χριστω* (sic Antioch^{1134}; item Tert$^{res\ carn\ 45}$ *sicut et deus vobis donavit in Christo*): 14. 48. 62. 72. 114. Antioch^{1116} Dam$^{parall\ 326}$ Tert$^{pudic\ 2}$ libere (*donantes invicem sicut et Christus donavit nobis*) *ο χριστοσ*, 11. 39. Thdrt Dam ad h. l. et$^{parall\ 353}$ *ο θεοσ* tantum | *υμιν* cum ℵAFGP al plu d e f g vg^{cle} (et. fu^{2} demid tol etc) go sah cop aeth Clem^{308} Or$^{int\ 4,671}$ Chr$^{133.\ 138}$ Euthal^{cod} Dam$^{paris\ bis}$ al Tert$^{res\ carn\ 45}$ Victorin Ambrst Hier al ... Gb' Ln *ημιν* cum BD^{gr}E^{gr}KL al plus^{30} (10 ap Scri) am fu* syr^{utr} arm Or$^{cat\ 188}$ Chr^{139} Thdrt Dam parall$^{329.\ 353}$ (ad h. l. om) Thphyl

V. 2. *υμασ* cum ℵ*ABP 32. 37. 71. 73. 116. 122* 238. 6^{lect*} m^{16} sah aeth^{utr} Clem$^{308.\ 524}$ (Ath^{443} fluct lectio) Euthal^{cod} Dam$^{paris\ bis}$ Thphyl Victorin (Amb$^{fid\ 1}$ fluct lectio) ... ς Ln *ημασ* cum ℵ^{c}DEFGKL al pler d e f g vg syr^{utr} cop arm go Bas$^{regg\ 474.\ 512}$ et$^{bapt\ 626}$ Chr Thdrt Dam ad h. l. al Hier Ambrst al | *υπερ ημων* (D^{gr}E^{gr} post *προσφοραν* pon) cum ℵADEFGKLP al pler d e f g vg syr^{utr} cop arm go Clem^{524} Or^{4,301} (*παρα τω παυλω λεγομενον· εαυτον παρεδωκεν υπερ ημων θυσιαν τω θεω*) Bas$^{regg\ 474}$ et$^{bapt\ 626}$ Chr Thdrt Dam ad h. l. Dam$^{paris\ sem}$ (Thphyl om) Hier Ambrst al (Amb$^{fid\ 1}$ ut ante) ... Ti *υπερ υμων* cum B 37. 73. 116. m^{16} sah aeth^{utr} Dam$^{paris\ sem}$ Victorin | *προσφοραν κ. θυσιαν*: ℵ *θυσ. κ. προσφ.* (Or^{4,301} om *προσφ. και*)

3. *πορνεια* ut BD^{c}K^{sil}L al pler ... ℵAD*FGP al *-νια*. Cf ad 1 Co 6, 13. | *πασα* post *ακαθαρσια* cum ℵABP 17. 31. 39. cop (sah post *πορν.*) Clem^{228} Or(vid)$^{cat\ 191}$ Euthal^{cod} Tert$^{pudic\ 17}$ ... ς ante *ακαθ.* cum DEFGKL al pler d e f g vg Clem^{524} Bas$^{eth\ 288}$ Chr Thdrt ad h. l. Dam al

ζέσθω ἐν ὑμῖν, καθὼσ πρέπει ἁγίοισ, 4 *καὶ αἰσχρότησ ἢ μωρο-*
λογία ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν, ἀλλὰ μᾶλλον εὐχαριστία·
5 *τοῦτο γὰρ ἴστε γινώσκοντεσ, ὅτι πᾶσ πόρνοσ ἢ ἀκάθαρτοσ ἢ*
Ga 5, 21 1 Co 6, 9 s *πλεονέκτησ, ὅ ἐστιν εἰδωλολάτρησ, οὐκ ἔχει κληρονομίαν ἐν τῇ*
2 Th 2, 3 Col 3, 6 *βασιλείᾳ τοῦ Χριστοῦ καὶ θεοῦ.* 6 *μηδεὶσ ὑμᾶσ ἀπατάτω κενοῖσ*
Ro 1, 18 *λόγοισ· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺσ υἱοὺσ τῆσ*
1 Th 5, 5 *ἀπειθείασ.* 7 *μὴ οὖν γίνεσθε συνμέτοχοι αὐτῶν.* 8 *ἦτε γάρ ποτε*
σκότοσ, νῦν δὲ φῶσ ἐν κυρίῳ· ὡσ τέκνα φωτὸσ περιπατεῖτε, — 9 *ὁ*

Victorin Hier Ambrst ... 37. Bas[esa 594] Thdrt[4,470. 1024] om | F[gr]G[gr] *ονομαζετω*

4. *και αισχροτησ* cum ℵBD[c]KLP al pler syr[p] cop arm (aeth[utr] *αισχρ. δε και μω. και ευτρ.*) Clem[524] Bas[eth 288] Chr Thdrt Dam al Hier ... Gb″ Ln *η αισχρ.* cum AD*FG 23. 31. 39. it vg sah (go om) Euthal[cod] Antioch[1105] Ir[int 282] Victorin Ambrst al (syr[sch] *μητε αισχ.*) (Clem[198] om copulam) | *η μωρολογ.* (Gb″) cum ℵ*AD*FGP 23. 31. 39. c[scr] it vg sah syr[p] arm go (syr[sch] *μητε*) Bas[eth 284] Euthal[cod] Antioch[1105] Ir[int 282] Victorin Ambrst ... ς Ti *και μωρολογ.* cum ℵ[a]BD[c]KL al pler cop aeth utr Clem[198. 524] Chr Thdrt Dam al Hier | *α ουκ ανηκεν* (Gb′) cum ℵA BP (17. omisso *α*) 31. 67** 73. syr[p mg gr] arm Clem[524] Euthal[cod] Antioch[1105], item *quae ad rem non pertinet* (*pertinent* g am Cyp[317] Ambrst Hier) d e f g vg Ir[int 282] Cyp[317] Victorin Ambrst Hier al ... ς Ti *τα ουκ ανηκοντα* cum DEFGKL al pler (Clem[200] *μηδε τα ευτραπελα μηδε τα μη ανηκοντα*) g sub *aut* (*t ad rem non pertinentia*) Bas eth[288] Chr Thdrt Dam al

5. *ιστε* cum ℵABD*FGP al[30] it vg go sah cop arm Clem[270. 524] Chr Euthal cod Cyr[thes 381] al Cyp[74] (*scitote intellegentes* ut it vg) Vig[varim] ... ς (= Gb Sz) *εστε* cum D[c]EKL al plu Thdrt Dam Thphyl; item syr[sch] (*hoc autem fueritis scientes*) et[p], item *scitote* aeth Victorin Amb[fid 3] Ambrst Hier al | *ο εστιν ειδωλολατρησ* (Gb′) cum ℵB 17. 67** Cyr thes[381] Hier (*aut avarus quod est idolis serviens*, ita[bis]). Item *ο εστιν ιδωλολατρια, quod est idolorum servitus* (Amb[fid 3] *idololatria* et[ms] *-latra*) FG it vg go Cyp Victorin Ambrst al ... ς Ti *οσ εστιν ειδωλολατρησ* cum ADEKLP al pler syr[p] (syr[sch] *aut cultor idolorum*, sed[cod] *qui est* -, aeth *et qui* etc) cop arm Clem[270] Chr Euthal[cod] Thdrt Dam al. Cf Lc brug: „*alterius versionis est ea lectio quae habet* qui est idolorum servus.“ | *εν τη βασιλεια*: F[gr]G g *εισ την βασιλειαν* | *τ. χριστου κ. θεου*: F[gr]G g ar[e] Ambrst Zeno[2,6] *τ. θεου κ. χριστου* ... aeth[utr] ar[p] Thdrt[3,215] (ad 1 Co 8, 6) *χριστου του θεου*, 14. om *και θεου*

6. *γαρ* et. Ir[int 264] Cyp[54. 112. 202] etc ... ℵ* (non item[a]) Tert[pudi 17] om. Libere Thaum[canon 2] (Gall[3,408]) *πορνεια γαρ, φησι, και πλεονεξια, δι α ερχεται η οργη του θεου επι* etc

7. *συνμετοχοι* cum ℵAB*D*FG ... ς Ln *συμμετ-* cum B[3]D[c]EK[sil]LP al certe pler Euthal[cod] etc

8. *νυν* et. Clem[114] Or[4,78] Thaum[can 2] etc ... FG *νυνει*

γὰρ καρπὸσ τοῦ φωτὸσ ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ Ga 5, 22
ἀληθείᾳ, — 10 δοκιμάζοντεσ τί ἐστιν εὐάρεστον τῷ κυρίῳ, 11 καὶ Ro 12, 2
μὴ συνκοινωνεῖτε τοῖσ ἔργοισ τοῖσ ἀκάρποισ τοῦ σκότουσ, μᾶλλον
δὲ καὶ ἐλέγχετε. 12 τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν
ἐστιν καὶ λέγειν· 13 τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸσ φα-
νεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶσ ἐστίν. 14 διὸ λέγει· ἔγειρε (Es 60, 1. 26, 19)
ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ
Χριστόσ.

---

9. *φωτοσ* cum ℵABD*E*FGP 6. 10. 17. 47. 67** 179. 213. it vg go syr[sch] cop arm aeth (Or)[cat 194] (urget ipsum *φωτοσ*) Thaum[can 2] (Gall[3,403]) Euthal[cod] Lcif[218] Victorin Ambrst Hier al ... ς (= Gb Sz) *πνευματοσ* cum D[c]E**KL al pler syr[p] Chr Thdrt Dam al | *αγαθωσυνη* cum ℵABK[vi] etc ... DEFGLP 37. al *αγαθοσυνη*

10. *τω κυριω* et. (Or)[cat 193] Thaum[can 2] Aug[adim 8,147] etc ... D*FG d e f g m[63] vg Victorin Ambrst Hier al (Lcif[218] om) *τ. θεω*

11. *συνκοινω-* cum ℵAB*D*FGL ... ς Ln *συγκοιν.* cum B[c]D[c]EK[sil]P al certe pler etc ... 47. *κοινωνειτ.* | *ακαρποισ* et. Or[cat 195] (cf Hier) Thaum can[2] Bas[bapt 668] etc: 61. 62. b[scr] o[scr] *ακαθαρτοισ*, 30* n[scr*] *αταχτοισ*. Praeterea cf ad totum h. l. Or (huius esse ex Hier clarum fit) [cat 195] *ἐπεὶ δὲ ἀπήρτηται τὰ τῆσ φράσεωσ, δοκεῖ μοι οὕτωσ ἂν ἀποκαταστῆναι·* (Hier: *Quia vero in hoc loco contextus eloquii videtur esse turbatus et tota scatere sententia, sic ordini sermo reddendus est*) *μη ουν γινεσθε συμμετ. αυτων, δοκιμαζοντεσ τι εστ. ευαρ. τω κυριω. ει και ητε ποτε σκοτοσ, νυν δε φωσ οντεσ εν κυριω, ωσ τεκνα φωτοσ περιπατειτε, τουσ καρπουσ επιδεικνυμενοι του φωτοσ, εν παση αγαθο. και δικαι και αληθεια, και μη συγκοινωνειτε τοισ εργ. τ. ακαρπ. του σκοτουσ.*

13. *φανερουται* et. Thaum[can 2] etc ... AK**L 2. 37. 38. 73. c[scr] al pauc *-ρουνται* | *γαρ*: 109. Sedul Bed (uterq ad h. l.) *δε*, g *autem* t *enim*

14. Ad h. v. G[mg] notat: *in secreto enoch.* | *εγειρε* cum ℵABDEFGKLP al plu Mcion[epiph 318] et[372] Clem[70] Or[2,552] et[cat 197 ter] Ath[472 cod] Epiph[395] Euthal[cod] etc ... ς (= Gb Sz) *εγειραι* cum minusc sat mu Naass[hipp 104] Hipp[antichr 65] Or[cat 197 sem] Ath[472 ed] Chr[147] Thdrt | *επιφαυσει σοι ο χριστοσ* et. Mcion[epiph bis] Naass[hipp 104] Hipp[antichr 65] Clem[70] (addito *κυριοσ*) Or[2,552] et[387] et[cat 197] et[int 4,698] Ath[472] Epiph[395] Chr[147] Euthal[cod] „*ἔνια τῶν ἀντιγράφ.*“ apud Thdrt (probante Thdrto) Dam al (Archel[596] „sicut et ait: *Et illuminabit Christus*“) Aug[ioh 22] et[23] (*illuminabit te Chr.*) Hier al ... D* nonnulli ap Chr[147] (*οἱ μὲν „ἐπιψαύσεισ,“ φασί, „τοῦ χριστοῦ“, οἱ δὲ „ἐπιφαύσει σοι ὁ χριστόσ·“ μᾶλλον δὲ τοῦτό ἐστι.*) nonnulli ap Hier (vide post) Thdrt (sed praefert alteram lectionem) d e Or[int 2,400] et[3,78] Victorin Ambrst al *επιψαυσεισ του χριστου*, *continges Christum*. Inprimis cf Hier[7,647]: „Quaerat aliquis, quisnam sit iste qui dicat: *Surge qui dormis, et exsurge a mortuis;* aut cuius testimonio apostolus sit abusus. Et quidem qui

Col 4, 5 15 *Βλέπετε οὖν ἀκριβῶσ πῶσ περιπατεῖτε, μὴ ὡσ ἄσοφοι ἀλλ᾽ ὡσ σοφοί,* 16 *ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί*

simplici responsione contentus est, dicet in reconditis eum prophetis et his quae vocantur apocrypha haec lecta in medium protulisse, sicut in aliis quoque locis illum fecisse manifestum est: non quod apocrypha comprobaret, sed quod et Arati et Epimenidis et Menandri versibus sit abusus ad ea quae voluerat in tempore comprobanda." „Alius vero, quasi *προσωποποιῖαν* spiritus sancti apostolus figuraverit, ad exhortationem paenitentiae haec dicta memorabit. Ego certe secundum paupertatulam meam omnes editiones veterum scripturarum ipsaque Hebraeorum volumina diligenter eventilans nunquam hoc scriptum reperi. Nisi forte et hoc dicamus: quomodo olim prophetae in concione populi loquebantur: *Haec dicit dominus,* et: *Quoniam dominus loquutus est*, ita et apostolum spiritu sancto plenum repente in verba quae in se Christus loquebatur erupisse atque dixisse: *Haec dicit dominus.*" „Scio me audisse quemdam de hoc loco in ecclesia disputantem, qui in theatrale miraculum nunquam ante visam formam populo exhibuit, ut placeret: Testimonium hoc, inquiens, ad Adam dicitur in loco calvariae sepultum, ubi crucifixus est dominus, qui calvariae idcirco appellatus est quod ibi antiqui hominis esset conditum caput. Illo ergo tempore, quo crucifixus dominus super eius pendebat sepulchrum, haec prophetia completa est dicens: *Surge Adam qui dormis, et exsurge a mortuis*, et non ut legimus *επιφαυσει σοι χριστοσ*, id est *orietur tibi Christus,* sed *επιψαυσει*, id est *continget te Christus*, quia videlicet tactu sanguinis ipsius et corporis dependentis vivificetur atque consurgat." „Unum quod scio loquor, cum loci istius interpretatione atque contextu sensus iste non convenit." Cf ad haec et. Or$^{cat\,197}$ *ὁ μὲν οὖν τισ φήσει ἔν τινι τῶν προφητῶν ἀνεγνωκότα ταῦτα τὸν ἀπόστολον ἀναγεγραφέναι· ἕτεροσ δὲ αὐτὸν τὸν ἀπόστολον προσωποποιεῖν τινὰ ἐκ τοῦ πνεύματοσ λεγόμενα εἰσ προτροπὴν τὴν ἐπὶ μετάνοιαν* etc. Ibidem Severian: *δῆλον οὖν ὅτι ἐν ἑνὶ τούτων τῶν πνευματικῶν ψαλμῶν ἤτοι προσευχῶν ἔκειτο τοῦτο.* (Paullo ante, i. e.[196], in eis quae ad v. 14. adnotata sunt non pro singulari lectione - cum Treg ad h. l. - habendum est „*επιψαυσει σοι ο χριστοσ*," sed *επιψαυσει* per incuriam ibi editum est pro *ἐπιφαύσει*, ut recte Chr[147] habet, unde hausit catena.) Adscriptum huic loco scholium praebet Dam^{paris} hunc in modum: *ταύτην περιηχεῖν τὴν φωνὴν τοῖσ ἀπ᾽ αἰῶνοσ κεκοιμημένοισ τὴν τοῦ ἀρχαγγέλου σάλπιγγα παρειλήφαμεν.*

15. *ουν*: ℵ^{c}A vg cop (post *ακριβ.*) Pelag add *αδελφοι* | *ακριβωσ* (Latini *caute*) ante *πωσ* cum ℵ*B 17. 31. 73. 80. 118. cop Or$^{cat\,195}$ (*ο δε βλεπων ακριβωσ πωσ περιπατησει παντωσ εστι σοφοσ*) et[196] (*ἐπεὶ πρόθεσίν τινεσ ἔχουσι χρηστοτέραν, οὐ σοφοὶ δὲ τυγχάνοντεσ, θέλουσι βλέπειν ἀκριβῶσ πῶσ περιπατοῦσι, προσέθηκε τό· μη ωσ ασοφοι αλλ ωσ σοφοι. σοφίασ δὲ ἔργον τὸ βλέπειν ἀκριβῶσ* -) Chr$^{153\,bis}$ (et^{semel} *λεγων· βλεπετε πωσ περιπατειτε.* Paullo post vero est *βλεπετε πωσ*

εἰσιν. 17 διὰ τοῦτο μὴ γίνεσθε ἄφρονεσ, ἀλλὰ συνίετε τί τὸ θέ-
λημα τοῦ κυρίου. 18 καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστὶν ἀσωτία,
ἀλλὰ πληροῦσθε ἐν πνεύματι, 19 λαλοῦντεσ ἑαυτοῖσ ψαλμοῖσ καὶ Col 3, 16
ὕμνοισ καὶ ᾠδαῖσ πνευματικαῖσ, ᾄδοντεσ καὶ ψάλλοντεσ τῇ καρ-
δίᾳ ὑμῶν τῷ κυρίῳ, 20 εὐχαριστοῦντεσ πάντοτε ὑπὲρ πάντων ἐν Col 3, 17
ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ θεῷ καὶ πατρί,
21 ὑποτασσόμενοι ἀλλήλοισ ἐν φόβῳ Χριστοῦ. 22 αἱ γυναῖκεσ τοῖσ Col 3, 18 1 Pe 3, 1

ακριβ. περιπατ., nec aliter[11,206]) Dam[parall 656] ... d e aeth[utr] om plane ... ς Ln Ti post πωσ pon cum ℵ[c]AD[gr]E[gr]FGKLP al pler f g vg syr[utr] arm (Chr[bis] vide ante) Thdrt Dam al Lcif[195] Victorin Ambrst Hier al

17. συνιετε cum ℵABP 17. 67** 73. 118. syr[sch] arm aeth Chr[cod] Euthal[cod] Antioch[1035] Dam[parall 563] (et[656] συνετε) Hier ... ς Ti συνιεντεσ c. D[c]EKL al pler Ephr[2,77] et[156] Chr[153. 154] Thdrt Dam ad h. l. et[paris], item συνιοντεσ D*FG, *intellegentes* it vg go cop syr[p] Lcif[195] Victorin Ambrst al | το θελημα et. ℵ[c] ... ℵ* το φρονημα | τ. κυριου (B add ημων) et. Ephr[2,156] Euthal[cod] etc Lcif Victorin Ambrst etc ... A 14. 55. 66** 109. 115. 178. 3[pe] 8[pe] d e vg[cle] am* demid al[lachm] (non item am** fu tol harl) (syr[sch] anceps) Ephr[2,77] Dam[parall 656] (et.[paris]) Thphyl Hier al τ. θεου

18. αλλα: 10. 37. 71. 116. 8[pe] arm add μαλλον | εν πνευματι: FG εν τω πνευμ.

19. εαυτοισ (39. 47. αυτοισ): L εαυτουσ | ψαλμοισ cum ℵAD[gr]E[gr]FGKL al pler f vg[cdd lachm] Eus[ps 609] Cyr[hr 280] Euthal[cod] Thdrt Dam Tert marc[5,18] ... BP 17. 67** 73. 116. 118. d e vg go Chr[155] Victorin Ambrst Hier al praem εν, hinc Ln [εν] | πνευματικαισ: B d e (Ambrst fluct lectio) om, hinc Ln [πνευμ.] ... A add εν χαριτι | και ψαλλοντεσ: 37. 61. 114. 116. al plus[5] go (item syr[sch]) om | τη καρδια cum ℵ*B Or[cat 201] (τουτο γαρ εστι το ψαλλειν και αδειν τη καρδια τω κυριω) ... ς Ti εν τη καρδια cum KL al pler syr[p txt] arm aeth utr Chr[155 semel] Euthal[cod] Thdrt Dam Thphyl Oec ... Gb' Ln εν ταισ καρδιαισ cum ℵ[c]ADEFGP 47. 8[pe] it vg go syr[sch] et[p mg] cop Bas regg[464] Chr[155 sem] Victorin Ambrst Hier al

20. υπερ παντων: F[gr]G g υπ. υμων, Thdrt[4,1278] υπ. παντ. υμων | 17. 73. 118. εν τω ονοματι | τ. κυρ. ημων: ℵ om ημ. | ιησου χριστου: B χρι. ιησ. | τω θεω κ. πατρι: D*EF[gr]G 37. 116. d e g go arm Victorin Vig varim τ. πατρ. κ. θεω

21. αλληλοισ: L -λουσ | χριστου cum ℵABLP al fere[35] f vg syr[utr] cop arm aeth go Or(vid)[cat 201] et Or[int 3,61] Bas[regg 415] Chr Dam[com] Victorin Ambrst al ... DE 35. d e χριστου ιησου, F[gr]G g ιησου χριστου ... K κυριου ... ς (= Gb Sz) θεου cum minusc plu Clem[593] Euthal[cod] Thdrt Dam[txt]

1,22 1 Co 11,3 *ἰδίοισ ἀνδράσιν ὡσ τῷ κυρίῳ,* 23 *ὅτι ἀνήρ ἐστιν κεφαλὴ τῆσ γυ-*
ναικὸσ ὡσ καὶ ὁ Χριστὸσ κεφαλὴ τῆσ ἐκκλησίασ, αὐτὸσ σωτὴρ τοῦ
σώματοσ. 24 *ἀλλὰ ὡσ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕ-*
Col 3,19 1 Pe 3,7 *τωσ καὶ αἱ γυναῖκεσ τοῖσ ἀνδράσιν ἐν παντί.* 25 *Οἱ ἄνδρεσ, ἀγα-*
πᾶτε τὰσ γυναῖκασ, καθὼσ καὶ ὁ Χριστὸσ ἠγάπησεν τὴν ἐκκλη-
σίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆσ, 26 *ἵνα αὐτὴν ἁγιάσῃ*

---

22. *τοισ ιδι. ανδρασιν* sine additam cum B cdd^{gr} ap Hier Clem^{592} (citat vv. 21—25). Sic autem Hier ad h. l. „Hoc quod in Latinis exemplaribus additum est: *subditae sint*, in Graecis codd. non habetur, siquidem ad superiora refertur et subauditur: *subiecti invicem in timore Christi*, ut *απο κοινου* resonet *subiectae, et mulieres viris suis sicut domino*. Sed hoc magis in Graeco intelligitur quam in Latino." ... ς (Gb^{oo}) add *υποτασσεσθε* cum KL al plu syr^{utr} Chr al, item post *γυναικεσ* DEF^{gr}G d e g 19^{lect} ... Ln add *υποτασσεσθωσαν* cum ℵAP al fere^{10} (et. cat^{txt}) f vg go cop arm aeth Clem^{308} (sed ibi tantum v. 22 affert) Bas$^{eth\ 309}$ (sed incipit locus a versu 22) Euthal^{cod} Thdrt Dam$^{parall\ 406}$ et Dam^{paris} Or$^{int\ 3,61}$ Victorin Ambrst al

23. *ανηρ* cum ℵABDEFGKLP al plu (9 ap Scri) Euthal^{cod} Dam ad h. l. et$^{parall\ 406}$ et^{paris} ... ς (= Gb Sz) praem *ο* cum minusc mu Clem^{592} Chr^{163} Thdrt al | *εστιν* (112. al pauc Euthal^{cod} add *η*) *κεφαλη* (ante *τησ γυναικ.*): B 37. 73. 80. 115. 116. al pauc f vg (non d e g) Bas$^{eth\ 309}$ Tert$^{marc\ 5,18}$ Or$^{int\ 3,61}$ al *κεφ. εστ.* | 17. Chr^{165} om *κεφαλη* ante *τησ εκκλ.* | *αυτοσ* sine *και* cum ℵ*ABD*E*FG 72. 73. 112. 178. d e f g vg cop Clem^{592} Euthal^{cod} Or$^{int\ 3,61}$ Victorin Ambrst Hier al ... ς (= Gb Sz) praem *και* cum ℵ^{c}D$^{b\ et\ c}$E**KLP al pler syr^{utr} arm aeth go Bas$^{eth\ 309}$ Chr$^{163.\ 165}$ Thdrt Dam (et.^{paris}) al. Item *αυτοσ* sine *εστι* cum ℵ*ABD*E*FG 17. d e f g vg aeth Clem^{592} Euthal^{cod} Or^{int} Victorin Ambrst al ... ς (Gb^{oo}) add *εστι* cum ℵ^{c}D$^{b\ et\ c}$E**KLP al pler syr^{utr} cop arm go Bas$^{eth\ 309}$ Chr Thdrt Dam (et. Dam^{paris}) Hier | *σωτηρ* cum ℵ^{c}BDEFGKLP al pler Chr^{165} Euthal^{cod} Thdrt Dam (et.^{paris}) al ... ℵ*A 3. 17. 57. 70. Clem Bas^{eth} (ita ex^{cdd} ed^{garn}) *ο σωτ.*

24. *αλλα* cum BD* ... ς *αλλ* cum ℵAD^{c}EFGKLP al omn^{vid} etc | *ωσ* cum ℵAD*FGP 17. 31. 47. 67** 73. 8^{pe} Clem^{592} Or$^{cat\ 205}$ sem Chr^{165} Euthal^{cod} Dam$^{parall\ 406}$ (et.^{paris}) ... ς *ωσπερ* cum D^{c}EKL al pler Or$^{cat\ 205}$ sem Bas$^{eth\ 309}$ Thdrt Dam ad h. l. al ... B om | *χριστω* et. Or^{cat} et$^{int\ 3,61}$ Bas Chr^{bis} rell ... D^{gr*} *κυριω* | *ανδρασιν* cum ℵBD*E*F^{gr}G 17. 67** d e g Or^{cat} Euthal^{cod} ... ς (Gb^{o}) praem *ιδιοισ* cum AD^{c}E**KLP al pler f vg (hi et Latini roll *viris suis*) syr^{utr} cop arm aeth go Clem Or^{int} Bas^{eth} Chr Thdrt Dam Ambrst Hier al

25. *γυναικασ* sine *εαυτων* cum ℵAB 17. 23. 49. 57. 70. cat^{txt} et^{com} (ex Chr^{165}) vg^{edd} ap Ln Clem^{592} (ubi accurate exscribit vv. 21—25) Or^{3,639} Bas^{1,68} Chr^{4,765} et ^{10,187} et ^{3,256} Euthal^{cod} Cyr$^{fid\ 128}$ Thdrt$^{2,122\ cod}$ ... ς (Gb^{o}) add *εαυτων* cum DEKL al pler (sed 37** *αυτων*) syr^{utr} Clem^{308} libere (*τασ εαυτων*) Chr$^{165\ bis}$ (sed ex eodem loco verba in catenam transierunt sine *εαυτων*) Thdrt ad h. l. et$^{2,122\ ed}$ Dam al;

καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, 27 ἵνα παραστήσῃ 2 Co 11, 2 Col 1, 22
αὐτὸς ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα
ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. 28 οὕτως ὀφεί-
λουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν
σώματα. ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ· 29 οὐδεὶς
γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλὰ ἐκτρέφει καὶ θάλπει
αὐτήν, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, 30 ὅτι μέλη ἐσμὲν
τοῦ σώματος αὐτοῦ· 31 ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν Gn 2, 24 Mt 19, 5 1 Co 6, 16

---

item P praem εαυτων. Item FG Thdrt[4,1268] add υμων. Similiter habent *uxores vestras* it vg go cop arm aeth Or[int3,17. 61. 74] Victorin Ambrst Hier al.

27. παραστηση: P -στησει | αυτος cum ℵABD*FGLP 6. 10. 17. 23* 31. 47. 49. 57. 67** 73. 115. 118. 137. 178. 8[pe] it vg go syr[p] arm (cop, sed non expri αυτος) Or[int2,252. 253] et[3,61] Ephr[3,234] Bas[bapt631] Euthal[cod] Thdrt[2,95] al Victorin Ambrst al ... ς (= Gb Sz) αυτην cum D[c]EK al longe plu syr[sch] Chr[166] et[3,256] Thdrt ad h. l. Dam al | εαυτω et. ℵ[c] ... ℵ* αυτω | ρυτιδα: 19* 69. ρυπιδα | η τι et. ℵ[a] ... ℵ* om

28. οφειλ. οι ανδρ. cum ℵKL al pler syr[sch] Method[epiph581] Chr[168] et[3,259] Euthal[cod] Thdrt Dam al. Item B 17. syr[p] arm? οφ. και οι ανδρες ... Ln και οι ανδρ. οφειλ. cum ADEFGP 213. it vg cop go Clem[595] Victorin Ambrst Hier al | εαυτων pri loc: L om | ως τα εαυτ. σωματα et. Clem[593] ℵ[c]: Clem[308] ως τα ιδια σωμ., ℵ* ως τ. ε. τεκνα ... D*E* cop (om εαυτ.) Victorin ως το εαυτ. σωμα, item sed omisso ως d e (unde fit: *Sic et viri debent diligere uxores suas. Suum corpus diligit qui uxorem suam diligit et se ipsum diligit*), nec aliter Ambrst, nisi quod ultima verba εαυτον αγαπα (*et se ipsum diligit*) om | αγαπων: DE d e vg Victorin Ambrst Hier post τ. εαυτ. γυναικα (*uxorem suam*) pon. Praeterea Chr[168] praeterit ο αγαπων usq αγαπα.

